τάσσεσθε, φίλαι δμωίδες, οὕτως
ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.
*ΔΑ.* ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεὼν
θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
φίλους πικρῶς ἤκουσαν αὐτανεψίοις·
ἐμοὶ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ' ἀέλπτως δορικανεῖ μόρῳ θανὼν
λάθοιμι, χώρᾳ δ' ἄχθος ἀείζων πέλοι.
τοιῶνδε τυγχάνοντας εὐπρυμνῆ φρενὸς
χάριν σέβεσθαι τιμιωτέραν ἐμοῦ.
καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει
κακήν, τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς,
θῆρες δὲ κηραίνουσι καὶ βροτοί, τί μήν;
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ.
καρπώματα στάζοντα κηρύσσει Κύπρις

959. σωφρονεῖτε, ὅπως ὁ τῶν Αἰγυπτιαδῶν ὅμιλος καταγνωσθείη ὑπὸ τῶν Ἀργείων καὶ μὴ ἡμεῖς. 961. τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων εὐχερῶς (εὐχερές Vict.) ἐστιν. 964. τὴν ἐπιστροφῆς δεομένην· ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν. 966. πάντα ἐπιθυμίᾳ δουλεύουσι.

---

947. paragrapho notat M. 950. ἐγγενεῖς Heathius: ἐκτενεῖσ M. 951. φίλους b: φίλου ·οσ· vel φίλου ·ωσ· (sec. Merkel.) M. αὐτανεψίοις Krusius: αὐτανεψίουσ M. 952. ἐμοὶ δ' Schuetzius: ἐμὸυσ, σ in δ' mutato, M. 954. δορικανεῖ μόρῳ Porsonus: δόρυκ' ἀνημέρωι M. 956. τυγχάνοντα πρευμενῆ Paleius. 958. καὶ ταῦτ' ἅμ' ἐγγράψασθε Hermannus. γεγραμμένοις Robortellus: γεγραμμένουσ M. post 959. excidisse nonnulla intellexit Weilius. 960. ὅμιλοσ ν M. 961. εὔτυκον Spanhemius: εὔτυχον M. 966. τιμὴν M. 967. πεδοστιβῆ Robortellus: παιδοστιβῆ M.